μέγα φρονεῖν, ἐπαινετῶν καὶ θεατῶν μηδὲν δεόμενον. ὥσπερ
οὖν ὁ καλῶν ἐκεῖνος οἴκοι τὴν θεραπαινίδα καὶ βοῶν 'θέασαι,
Διονυσία, πέπαυμαι τετυφωμένος', οὕτως ὁ ποιήσας τι χάριεν
καὶ ἀστεῖον εἶτα τοῦτο διηγούμενος καὶ περιφέρων πανταχόσε
δῆλός ἐστιν ἔξω βλέπων ἔτι καὶ πρὸς δόξαν ἑλκόμενος, οὔπω F
δὲ τῆς ἀρετῆς γεγονὼς θεατής, οὐδ' ὕπαρ ἀλλ' ὄναρ αὐτῆς
ἐν εἰδώλοις καὶ σκιαῖς ῥεμβόμενος, εἶθ' ὥσπερ ζωγράφημα
προτιθεὶς ἐπὶ θέαν τὸ πεπραγμένον. ἔστιν οὖν τοῦ προκόπτον-
τος οὐ μόνον δόντα τῷ φίλῳ | καὶ γνώριμον εὐεργετήσαντα 81
μὴ φράσαι πρὸς ἑτέρους, ἀλλὰ καὶ ψῆφον ἐν πολλαῖς θέμενον
ἀδίκοις δικαίαν καὶ πρὸς ἔντευξιν αἰσχρὰν πλουσίου τινὸς ἢ
ἄρχοντος ἀπισχυρισάμενον καὶ δωρεᾶς ὑπεριδόντα καὶ νὴ Δία
διψήσαντα νύκτωρ καὶ μὴ πιόντα ἢ πρὸς φίλημα καλῆς ἢ
καλοῦ διαμαχεσάμενον, ὡς ὁ Ἀγησίλαος, ἐν ἑαυτῷ κατασχεῖν
καὶ σιωπῆσαι. τὸ γὰρ αὑτὸν εὐδοκιμοῦντα παρ' ἑαυτῷ μὴ
καταφρονεῖν ἀλλὰ χαίρειν καὶ ἀγαπᾶν ὡς ἱκανὸν ὄντα μάρτυν
ἅμα τῶν καλῶν καὶ θεατὴν δείκνυσι τὸν λόγον ἐντὸς ἤδη τρε-
φόμενον καὶ ῥιζούμενον ἐν ἑαυτῷ καὶ κατὰ Δημόκριτον (fr. 146)
'αὐτὸν ἐξ ἑαυτοῦ τὰς τέρψιας ἐθιζόμενον λαμβάνειν'. οἱ μὲν B
οὖν γεωργοὶ τῶν σταχύων ἥδιον ὁρῶσι τοὺς κεκλιμένους καὶ
νεύοντας ἐπὶ γῆν, τοὺς δ' ὑπὸ κουφότητος αἰρομένους ἄνω
κενοὺς ἡγοῦνται καὶ ἀλαζόνας· οὕτως δὴ καὶ τῶν φιλοσο-
φεῖν βουλομένων νέων οἱ μάλιστα κενοὶ καὶ βάρος οὐκ ἔχοντες
θράσος ἔχουσι καὶ σχῆμα καὶ βάδισμα καὶ πρόσωπον ὑπερ-
οψίας καὶ ὀλιγωρίας μεστὸν ἀφειδούσης ἁπάντων, ἀρχόμενοι
δὲ πληροῦσθαι καὶ συλλέγειν καρπὸν ἀπὸ τῶν λόγων τὸ σο-
βαρὸν καὶ φλοιῶδες ἀποτίθενται. καὶ καθάπερ ἀγγείων κενῶν
ὑγρὸν δεχομένων ὁ ἐντὸς ἀὴρ ἐκθλιβόμενος ὑπέξεισιν, οὕτως